οὐ τὸν δυσαλθεῖς δρῶντα τὰς εὐαλθέας·
ὁ μὲν γὰρ εἰδὼς αἰτίας νόσων σάφα,
ἀκεσμάτων χρῆσιν τε ταῖσδε προσφόρων
εὐαλθέας τίθησι τὰς δυσαλθέας.
ὁ δ᾽ ὢν ἄπειρος τῶνδε, φαρμάκων δ᾽ ὅμως
πλήθει πεποιθὼς, τῶν δ᾽ ἄγαν τ᾽ ἀσυμφόρων,
ἀδρῶς φέρων τε ταῦτα τὰς εὐαλθέας
δυσαλθέας δρᾷ, τάσδε μηκύνων μάτην.

## Ἄλλο.

Α. Βραχὺς μὲν ὄντως ὁ βροτῶν ἅπας βίος,
ἢ ὥστε τέχνην ἐντελῶς ἐκμανθάνειν,
Ἰατρικὴν δ᾽ οὐχ ἧττον· ἣ μακρὰ πλέον
τεχνῶν ἁπασῶν ὅσα δήπου τυγχάνει,
ὡς εὐστόχως εἴρηκε τοῦθ᾽ Ἱπποκράτης (α)
δύσκτητος αὖθις, δυσπόριστός θ᾽ ὡς μάλα,
κοὐδ᾽ ἔστι παντὸς, οἷα δυσχερεστάτη·
πολλοῦ πόνου δεῖται γὰρ ἐν μακρῷ χρόνῳ
ὡς τῆσδ᾽ ὁπωσοῦν ἐγκρατὴς γένοιτό τις,
ὥστε ξυνάπτων πεῖραν ἀκριβεστάτην
καὶ τήνδε συχνὴν ἀσφαλεῖ κὠρθῷ λόγῳ,
προσάντε᾽ ὄντ᾽ ἄμφω γε δυσθήρατά τε,
καὶ τῶνδ᾽ ἕκαστον τῷ ᾽τύμῳ σταθμώμενος
ἐς τῆσδ᾽ ἱκέσθαι γνῶσιν οἵαν δὴ μόγις·
ᾗπερ ξυνεργῷ ῥᾷστ᾽ ἀκεσμοῖς εὐστόχοις

καὶ

(α) ἀφορ. Α. α.